*Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην.*
*Τὸ ζῆν ἀλύπως ἀνδρός ἐστιν εὐτυχοῦς.*
*Τὰ πλεῖστα θνητοῖς τῶν κακῶν αὐθαίρετα.*
*Τὰ δάνεια δούλους τοὺς ἐλευθέρους ποιεῖ.*
*Τερπνὸν κακὸν πέφυκεν ἀνθρώποις γυνή.*
*Τὸ γὰρ τρέφον με τοῦτ᾽ ἐγὼ κρίνω θεόν.*
*Τὸ γνῶθι σαυτὸν πᾶσι{ν} χρήσιμον πέλει.*
*Τὸ γὰρ φύσει πεφυκὸς οὐ μεθίσταται.*
*Τὸν δεινὰ δρῶντα καὶ παθεῖν κακῶς μένει.*
*Τὸ μὴ δικαίως εὐσεβεῖν φέρει ψόγον.*
*Τὴν ἐπιμέλειαν παντὸς ἡγοῦ κυρίαν.*
*Τὸ μηδὲν ἀδικεῖν καὶ καλοὺς ἡμᾶς ποιεῖ.*
*Τὸν ἐλεύθερον δεῖ πανταχοῦ φρονεῖν μέγα.*
*Τύχην ἔχεις, κάθευδε, μὴ λίαν πόνει,*
*εἰ δ᾽ οὐκ ἔχεις, κάθευδε, μὴ μάτην πόνει.*
*Τὸ ψεῦδος ὠχύρωκε τὴν πονηρίαν.*
*Τοῦ ζῆν τὸ μὴ ζῆν ἐστιν αἱρετώτερον.*